UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Timotheo. 7.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἵνα μὴ παντελῶς φανταζώμεθα ἐπιλησμονεῖν τῆς δίκης οἱ ῥάθυμοι, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, προσετέθειτο. ὅτι εἰ τέλεον σωτηρίας καταφρονήσουσιν, εἰς ὕστερον τὴν δίκην οὐ λήσουσι. πίονται γὰρ, φησὶ, πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς, τὸ τῆς κρίσεως εἰκότως ποτήριον.

ἀπλήσουσι.

Τιμοθέῳ. ζ.

πυκτίς.

Ἡ μὲν ἱερὰ τῶν εὐαγγελίων πυκτὶς, ἡ εἰς τὸν Ἰωσὴφ τὴν γενεαλογίαν κατάγουσα ἐκ τοῦ Δαβὶδ ἕλκοντα τὴν συγγένειαν, ἠρκέσθη δι' αὐτοῦ ἀποδεῖξαι καὶ τὴν παρθένον τοῦ Δαβὶδ συμφυλέτιδα. τοῦ θείου νόμου τὰς συζυγίας αὐτοφύλους θεσπίζοντος γίνεσθαι. ὁ δὲ τῶν οὐρανίων ὑποφήτης δογμάτων ὁ μέγας ἀπόστολος Παῦλος, ἀναφανδὸν διασαφεῖ τὴν ἀλήθειαν, ἐκ τοῦ Ἰούδα μαρτυρῶν ἀνατεῖλαι τὸν κύριον. ταῦτα δὲ δριμύτερον ἐπιστάμενος, μὴ εἰρωνεύου τὴν ἐπερώτησιν. οὐ γὰρ λανθάνεις θηρῶν τὴν εὐτέλειαν.

Τῷ αὐτῷ. η.

Ὥσπερ ὑπωπιασμοῦ δεῖται ἡ εὐεκτοῦσα σὰρξ, κατευνάζοντος τῶν παθῶν τὰ οἰδήματα, οὕτω καὶ βοηθείας χρήζει ἡ ἀσθενοῦσα, καὶ κακώσει συμπίπτουσα ψυχὴ, ἵνα ταῖς θείαις ἐντολαῖς ὑπεραυγάζηται. ἀμφοτέρων οὖν φροντιστέον. θατέρου γὰρ λείποντος, δυσχερὴς ἡ τελείωσις.

ὑπεργάζηται.

Τῷ αὐτῷ. θ.

Αἱ νυκτεριναὶ φαντασίαι, ὡς γέγραφας φιλομαθέστατε, οὐ μόνον τῶν μεθημερινῶν εἰσὶ συντυχιῶν καὶ ὁμιλιῶν ἀπηχήματα, ἀλλὰ καὶ τῆς ῥαθύμου συνηθείας γεννήματα. ὅτε γὰρ κάρῳ μέθης ὁ νοῦς συλληφθῇ, ὁρμητήριον γίνεται τῶν παθῶν. ὅτε δὲ νήφει ἐγρηγόρως, καὶ τὸν κύριον περιεζωσμένος καραδοκεῖ, οὔτε ὑπὸ γαστρὸς ἡττᾶται, οὔτε τῶν ἀπ' ἐκείνης παθῶν. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ

prorſus obliuiſci, cogitatione nobis fingamus, idcirco adiectũ eſt, Veruntamen fæx eius non eſt exinanita. Quoniam ſi ſalutem omnino aſpernentur, vim numinis vltricem ad extremum haud latebunt. Bibēt enim, inquit, omnes peccatores terræ: Iudicij ſcilicet poculum: idque meritò.

*Timotheo. 7.*

Sacroſanctus Euangeliorũ codex, Chriſti genealogiam in Ioſephũ, genus ex Dauide trahentem, deducens, ſatis habuit per eum demonſtraſſe Virginem quoque ex eadem, qua Dauid, tribu ortum duxiſſe: propterea quòd lege ſanciretur, vt matrimonia ex eadem tribu exiſterent. At verò diuinorum dogmatum interpres, magnus ille Apoſtolus Paulus, veritatem perſpicuè explanat, cùm Dominum ex Iuda ortum traxiſſe teſtatur. Hæc igitur acutiùs certiúſque ſciens, ne diſſimulanter ac veteratoriè quæſtionem hanc mihi proponas. Nec enim mihi obſcurum eſt, te vilitatem hîc aucupari.

*Matth. 1.*

*Num. 36.*

*Heb. 7.*

*Eidem.* 8.

Quemadmodum caro, cùm optimè valet, ad ſedandos & conſopiendos perturbationum animi tumores, vexatione opus habet: ſic etiam anima, cùm imbecillitate laborat, atque in calamitatem & afflictionem incidit, opem requirit, vt diuinis mãdatis colluſtretur. Quare vtriuſque rei cura habenda eſt. Nam ſi alterutrum deſit, perfectionem conſequi difficile eſt.

*Eidem.* 9.

Nocturnæ rerum ſpecies, vt ſcripſiſti, vir diſcẽdi ſtudioſiſſime, non modò diurnorum congreſſuum & colloquiorum reliquiæ, ac velut extremi ſoni ſunt: verùm etiam ſocordis & ignauæ conſuetudinis fœtus. Nam cùm temulentiæ veterno mẽs correpta eſt, perturbationum animi propugnaculum exiſtit. Cùm autem ſobria eſt, atque excubias agit, ac Dominum præcincta opperitur, nec à ventre ſuperatur,